**βραχυκέφαλος**

Evstath. in [Hom.] *Il.* V 349 (II, p. 87. 13 sqq. Valk) ἀνάπαλιν δὲ τῷ τοιούτῳ πάθει ἔχει τὸ (*scil.* ἔπος) ἀκέφαλον, ταὐτὸν δ᾽ εἰπεῖν βραχυκέφαλον, κατὰ τὸ ἀμαθής ὁ ὀλιγομαθής, ὃ τοῦ κατὰ τὴν ἄρχουσαν μεγέθους ἐκπεσὸν ἀπὸ βραχείας ἄρχεται, ὁποῖον σὺν ἄλλοις, ἃ ἑτέρωθι φανεῖται, καὶ τό· ([Hom.] *Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο,

καί· ([Hom.] *Od.* VIII 452)

ἐπειδὴ λίπε δῶμα Καλυψοῦς ἠϋκόμοιο,

καί· ([Hom.] *Od.* XII 423)

ἐπίτονος βέβλητο, βοὸς ῥινοῖο τετευχώς. [*M.E.*]